δρίας· παρ' εὐνούχοις καὶ παλλακαῖς καὶ σατράπαις βασιλέων·
ζηλωτὸν γὰρ οὐδὲν οὐδὲ καλὸν ἐξ αἰσχροῦ φυόμενον. ἀλλ'
ἐπεὶ τυφλοῦται τὸ φιλοῦν περὶ τὸ φιλούμενον, ὥς φησιν ὁ
Πλάτων (Legg. 731 e), καὶ μᾶλλον ἡμῖν οἱ ἐχθροὶ παρέχουσιν
αἴσθησιν ἀσχημονοῦντες, δεῖ μήτε τὸ χαῖρον ἐφ' οἷς ἁμαρ-
τάνουσιν ἀργὸν εἶναι μήτε τὸ λυπούμενον ἐφ' οἷς κατορθοῦσιν,
F ἀλλ' ἐπιλογίζεσθαι δι' ἀμφοτέρων ὅπως τὰ μὲν φυλαττόμενοι
βελτίονες ὦμεν αὐτῶν, τὰ δὲ μιμούμενοι μὴ χείρονες.

7.

93

# ΠΕΡΙ ΠΟΛΥΦΙΛΙΑΣ

(Plan. 16)

**1.** Μένωνα τὸν Θετταλὸν οἰόμενον ἐν λόγοις ἱκανῶς γε-
γυμνάσθαι καὶ τοῦτο δὴ τὸ ὑπὸ τοῦ Ἐμπεδοκλέους λεγόμενον
B (fr. 4, 8) 'σοφίας ἐπ' ἄκροισι θαμίζειν' ἠρώτησεν ὁ Σωκράτης
τί ἀρετή ἐστιν (Plato Men. 71 d)· ἀποκριναμένου δ' ἰταμῶς
ἐκείνου καὶ προχείρως ὅτι καὶ παιδός ἐστιν ἀρετὴ καὶ πρεσβύ-
του καὶ ἀνδρὸς καὶ γυναικὸς καὶ ἄρχοντος καὶ ἰδιώτου καὶ
δεσπότου καὶ θεράποντος, 'εὖ γ'' εἶπεν ὁ Σωκράτης 'ὅτι μίαν
ἀρετὴν αἰτηθεὶς σμῆνος ἀρετῶν κεκίνηκας', οὐ κακῶς τεκμαι-
ρόμενος ὅτι μηδεμίαν εἰδὼς ἀρετὴν ἄνθρωπος πολλὰς ὠνόμαζεν.
ἆρ' οὖν οὐχὶ καὶ ἡμῖν ἄν τις ἐπιχλευάσειεν ὅτι μηδέπω μίαν
φιλίαν κεκτημένοι βεβαίως φοβούμεθα μὴ λάθωμεν εἰς πολυ-

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/192 UNIVERSITÄT LEIPZIG